# ΚΕΦΑΛΑΙΟΝ ΠΕΜΠΤΟΝ.

## Περὶ αὐξήσεως.

Τούτων οὕτως ἐκτεθειμένων περὶ γενέσεως καὶ ἀλλοιώσεως λοιπὸν ἐστὶν εἰπεῖν περὶ τοῦ γ΄. τῆς μεταβολῆς τρόπου, ἥτις ἐστὶν ἡ αὔξησις, τίνι τε διαφέρει γενέσεως καὶ ἀλλοιώσεως ἡ αὔξησις καὶ μείωσις ἀποδοτέον, καὶ πῶς αὐξάνεται τῶν αὐξανομένων ἕκαστον, καὶ φθίνει ὁτιοῦν τῶν φθινόντων. ἔτι δὲ ὡς οὐκ ἐξὸν ἄνευ τούτων, τὸν περὶ αὐξήσεως τρόπον συνιέναι ὀρθῶς, ζητῆσαι δεῖ τί τὸ ὑποκείμενον τῇ αὐξήσει καὶ μειώσει, καὶ τίνες οἱ ὅροι, καὶ πῶς τῷ μὲν αὐξανομένῳ ἡ προσθήκη γίγνεται, τῷ δὲ μειουμένῳ ἡ ἀφαίρεσις, καὶ τί τὸ αὖξον, σκεπτέον δὲ πρῶτον, πότερον ἐν τῷ περὶ ὅ ἐστι καὶ κατὰ τὸ ὑποκείμενον ἡ πρὸς ἄλληλα τῶν μεταβολῶν τούτων διαφορὰ, ἢ καὶ κατὰ τὸν τρόπον. φανερὸν οὖν ὅτι διαφέρουσι κατὰ τὴν ὕλην γένεσις, ἀλλοίωσις, καὶ αὔξησις, ἡ μὲν γὰρ γένεσις μεταβολή ἐστιν ἐκ τοῦδε εἰς τόδε, οἷον ἐκ δυνάμει οὐσίας εἰς ἐντελεχείᾳ οὐσίαν, καὶ περὶ οὐσίαν ἐστὶν, ἡ δὲ αὔξησις περὶ τὸ ποσὸν, ἡ δὲ ἀλλοίωσις περὶ τὸ ποιὸν, καὶ τὸ πάθος, οἷον ἡ ἐκ τοῦ μέλανος εἰς τὸ λευκὸν μεταβολὴ ἀλλοίωσις ἐστὶν, ὅτι ταῦτα ποιότητες καὶ πάθη εἰσὶν, ἀμφότερα δὲ ἥτε αὔξησις καὶ ἀλλοίωσις ἐκ τῶν δυνάμει ὄντων εἰς ἐντελέχειαν μεταβολὴ τῶν εἰρημένων ἐστίν. ἡ δὲ γένεσις ἀναμφισβητήτως οὖσα ὡς διώρισται ἐκ τοῦ δυνάμει ὄντος εἰς ἐντελέχειαν, παραλείπεται. ὅθεν φανερῶς διαφέρουσιν ἀλλήλων αἱ ῥηθεῖσαι μεταβολαὶ, διὸ δὴ καὶ εἰς διαφόρους ἀνάγονται κατηγορίας, οἷον ἡ μὲν γένεσις εἰς τὴν οὐσίαν, ἡ δὲ ἀλλοίωσις εἰς τὸ ποιὸν, ἡ δὲ αὔξησις εἰς τὸ ποσόν. ἀλλ᾽ ἔτι διαφέρουσι καὶ κατὰ τὸν τρόπον. οὔτε γὰρ τὸ ἀλλοιούμενον οὔτε τὸ γιγνόμενον μεταβάλλει κατὰ τόπον ἐξ ἀνάγκης, ὥσπερ τὸ αὐξανόμενον καὶ φθίνον. τὸ μὲν γὰρ γιγνόμενον ἐν τῷ αὐτῷ τόπῳ μένον τοιοῦτον γίνεται, οἷον ἐξ αἵματος γάλα, ὥσπερ καὶ τὸ ἀλλοιούμενον, οἷον τὸ ἐκ μέλανος λευκὸν γιγνόμενον, αὐτὸ δὲ τὸ αὐξανόμενον καὶ φθίνον ἐξ ἀνάγκης μεταβάλλει κατὰ τόπον, καίτοι μὴ τὸν αὐτὸν τρόπον τῷ φερομένῳ, τὸ μὲν γὰρ φερόμενον ὅλον ἀμείβει τὸν τόπον, ἕτερον μὲν λαμβάνον, ὃν δὲ κατεῖχε ἀπολιπόν. τὸ δὲ αὐξανόμενον μεταβάλλει μὲν κατὰ τόπον, καίτοι μὴ ὅλον ἐκ τόπου εἰς τόπον μεταφερόμενον, ἀλλ᾽ ἢ ἐφ᾽ ᾧ τὴν ἐξ ἀρχῆς προστιθέμενον τόπον ἕτερον, ἢ εἰς ἐλάττονα συστελ-



ΙΩΑΝΝΙΝΑ 2006

λόμενον ἐοικός πως τῷ ἐλαυνομένῳ, τὰ γὰρ μόρια τοῦ αὐξανομένου τούτου μένοντος μεταβάλλει κατὰ τόπον. ἀλλὰ μή τις ἐκ τούτων εἴπῃ, ὅτι τὸ αὐξανόμενον μεταβάλλει κατὰ τόπον, ὥσπερ ἡ σφαῖρα, καὶ ταύτης γὰρ ἔοικε τὰ μέρη μενούσης ἐν τῷ ἐξ ἀρχῆς τόπῳ μεταβάλλειν κατὰ τόπον, καὶ γὰρ διαφέρει πλεῖστον ἀλλήλων ταῦτα. ἡ μὲν γὰρ σφαῖρα ἐν τῷ ἴσῳ τόπῳ μένουσα μεταβάλλει κατὰ τὰ μόρια, οὔτε ἕτερον προσεπιλαμβάνουσα τόπον, οὔτε συστελλομένη. τὸ δὲ αὐξανόμενον ἀεὶ ἐπὶ πλείω τόπον ἐκτείνεται, ὥσπερ τὸ φθῖνον ἐπ᾽ ἐλάττω. ὅτι μὲν οὖν ἡ μεταβολὴ τοῦ τε γιγνομένου καὶ ἀλλοιουμένου καὶ αὐξανομένου οὐ μόνον κατὰ τὴν ὕλην διαφέρει, ἀλλὰ καὶ κατὰ τὸν τρόπον δῆλον. ἐπειδὴ δὲ περὶ μέγεθος καὶ τὸ ποσὸν δοκεῖ εἶναι τὸ αὐξάνεσθαι καὶ φθίνειν. ἀνάγκη ἐστὶ τὴν ὕλην περὶ ἣν ἐστὶν ἡ μεταβολὴ τῆς αὐξήσεως καὶ τῆς μειώσεως ἐπισκέψασθαι ποτέρως ὑποληπτέον. πότερον δηλαδὴ γίγνεσθαι σῶμα καὶ μέγεθος ἐκ δυνάμει μὲν μεγέθους καὶ σώματος, ἐντελεχείᾳ δὲ ἀσωμάτου καὶ ἀμεγέθους, ὥστε τὴν τῆς αὐξήσεως ὕλην δυνάμει μόνον εἶναι σῶμα καὶ μέγεθος, ἐνεργείᾳ δὲ ἀσώματον καὶ ἀμέγεθες. κἀπειδὴ τοῦτο διχῶς ἐνδέχεται λέγεσθαι, ἢ κεχωρισμένον αὐτὸ καθ᾽ ἑαυτὸ, ἢ ἐνυπάρχον ἐν ἄλλῳ σώματι, ποτέρως ἡ αὔξησις γίγνεται; πότερον ἐκ κεχωρισμένης αὐτῆς καθ᾽ ἑαυτὴν τῆς ὕλης, ἢ ἐνυπαρχούσης ἐν ἄλλῳ σώματι; ἀμφότερα δὲ ἀδύνατα, ἄρα ἡ αὔξησις οὐ γίγνεται ἐκ δυνάμει μὲν μεγέθους καὶ σώματος, ἐντελεχείᾳ δὲ ἀσωμάτου, καὶ ἀμεγέθους, ἀλλ᾽ ἔστι τὸ ὑποκείμενον αὐτῆς ἐνεργείᾳ σῶμα. ὅτι μὲν οὖν χωριστὴν εἶναι τὴν ὕλην ἐξ ἧς ἡ αὔξησις γίγνεται ἀδύνατον, φανερὸν, καὶ γὰρ ἢ οὐδένα καθέξει τόπον, ἢ οἷον σημεῖον τι, ἢ κενὸν ἔσται, ἢ σῶμα οὐκ αἰσθητόν. τούτων δὲ τὸ μὲν οὐδένα κατέχειν τόπον, οὐκ ἐνδέχεται, ἀεὶ γάρ που τὸ γιγνόμενον ἔσται ἐξ αὐτοῦ. ἄρα καὶ τὸ ἐξ οὗ γίνεται, εἴτε γένεσις, εἴτε αὔξησις ἐν τόπῳ ἔσται. ἢ καθ᾽ ἑαυτὸ, ἢ κατὰ συμβεβηκός, ἀλλ᾽ οὐδὲ οἷον σημεῖον τι εἶναι δυνατὸν, ἀναγκαῖον γὰρ τὸ σημεῖον ἔν τινι εἶναι, ἀλλ᾽ οὐ χωριστὸν, οὐδὲ μὴν κενὸν ἔσται. ὡς γὰρ δέδεικται ὅλως οὐκ ἔστι κενὸν, οὐδὲ σῶμα οὐκ αἰσθητόν. τὸ γὰρ ἄποιον σῶμα ἀδύνατόν ἐστι μὴ εἶναι ἐν τόπῳ, εἰ μόνον σῶμα καὶ τριχῇ διαστατόν; ὁμοίως δὲ ἀδύνατον τὴν ὕλην ἐξ ἧς ἡ αὔξησις ἔν τινι ὑπάρχειν οὕτως κεχωρισμένην. ὥστε ἐκείνου μὴ εἶναι μέρος, ἢ καθ᾽ ἑαυτὸ, ἢ κατὰ συμβεβηκός. τὸ γὰρ ἔν τινι ὑπάρχον ὡς μέρος εἴτε καθ᾽ ἑαυτὸ, εἴτε κατὰ συμβεβηκὸς ἐνεργείᾳ ἐστὶν ἀλλ᾽ οὐ δυνάμει, ὅθεν ἀνάγκη τὸ δυνάμει σῶμα ἐξ οὗ ἡ αὔξησις ἔν τινι ὑπάρχον κεχωρισμένον αὐτοῦ εἶναι, ἐξ ὅτου δὴ συμβήσεται πολλὰ, καὶ ἀδύνατα, οἷον γένεσίν τε εἶναι τινὸς αὐτοῦ τῆς ἑτέρου φθορᾶς, ἔτι δὲ ἀπείρους ὕλας ἐνδέχεσθαι εἶναι,

ὁμοίως

Ε.Υ.Δ ΙΩΑΝΝΙΝΑ 2006

ὁμοίως καὶ τῆς ὕλης ἐξ ἧς γίνεται τὸ αὐξανόμενον ἀποχωρεῖν τὸ ἐν ᾧ ἐστὶ τὸ κεχωρισμένον ἐξ οὗ ἡ αὔξησις λέγεται γίνεσθαι. δῆλα δὲ ταῦτα ἐπὶ παραδείγματος, οἷον εἴ τις φαίη ἔν τινι ἐνεργείᾳ ὄντι τὴν χωριστὴν ὑπάρχειν ὕλην μηδὲν τῆς τοῦ ἐν ᾧ ἐστιν οὖσαν οὐσίας. ἀλλ' οἷον ἐν ἀγγείῳ περιεχομένην ὡς ἐν ἀγγείῳ τὸ ὕδωρ, καθάπερ γιγνομένου ἀέρος ἐξ ὕδατος οὐ μεταβάλλοντος τοῦ ὕδατος, ἀλλὰ τῆς ἐν αὐτῷ μὴ ὡς τούτου μέρους ὕλης, οὕτως γενήσεται καὶ τὸ αὐξανόμενον μηδενὸς μεταβάλλοντος. τὸ γὰρ ἐξ οὗ γίγνεται οὐκ ἔστι μέρος τοῦ ἐν ᾧ ἐστιν, ἀλλ' ὡς τὸ ὕδωρ τοῦ ἀγγείου, ἔτι δὲ εἰ μηδὲ ὡς μέρος μηδὲ ὡς ἐνεργείᾳ σῶμα, μηδὲ τῇ θέσει τόπον τινὰ πληροῦν, ἢ τῇ ἀφαιρέσει ἀποτέμνον οὐδὲν κωλύει, καὶ δευτέραν ὕλην τοιαύτην εἶναι καὶ ἄλλην καὶ ἄλλην, καὶ οὕτως ἀπείρους ὕλας ὑποτίθεσθαι, τοῦτο δὲ ἀδύνατον. ὁμοίως καὶ τὸ ὑπείκειν τὸ ἐν ᾧ ἐστιν ἄτοπον. τοιγαροῦν ὥσπερ ἀδύνατόν ἐστι γίγνεσθαι ἐξ ὕδατος ἀέρα, οἷον ἐξιόντα ὑπομένοντος καὶ μὴ φθειρομένου τοῦ ὕδατος καὶ γιγνομένων ἐξ ὕλης τινὸς ἐκκρινομένης τοῦ ὕδατος, μὴ οὔσης δὲ ἐν τῷ ὕδατι ὡς μέρους αὐτοῦ, οὕτως ἀδύνατον ἐξ ὕλης γίγνεσθαι λέγειν τὴν αὔξησιν ὑπαρχούσης ἔν τινι μὴ μέντοι γε ὡς μέρους, ἢ καθ' ἑαυτὸ, ἢ κατὰ συμβεβηκὸς τῆς τοῦ ἐν ᾧ ἐστιν οὐσίας. Τοσούτων οὖν ἀτόπων ἀκολούθων ὄντων τοῖς χωριστὴν ὑποτιθεμένοις τὴν ὕλην βέλτιον ἐστὶ ποιεῖν πᾶσιν ἀχώριστον εἶναι ταύτην, ἀλλ' οὐ κεχωρισμένην, οὔτε καθ' ἑαυτὴν ὑπάρχουσαν, οὔτε ἐνυπάρχουσαν τινι. εἰς οὐδὲν μέντοι συντελοῦσαν ἐν τῷ πρὸς τὸ εἶναι. ἔστι τοίνυν τὸ ἐξ οὗ ἡ αὔξησις γίγνεται τοῦ ἐν ᾧ ἐστιν ἀχώριστον μέρος ὂν τούτου καὶ ἓν τῷ ἀριθμῷ, τῷ δὲ λόγῳ μὴ ἕν. ὥσπερ γὰρ ἐπὶ τῶν γιγνομένων ὕλη γενέσεως καὶ φθορᾶς ἡ ἀνείδεος ὕλη μέρος ἀχώριστον οὖσα τοῦ συνθέτου μία μὲν αὐτῷ τῷ ἀριθμῷ, τῷ δὲ λόγῳ καὶ τῷ ὁρισμῷ μὴ μία. οὕτω τοι καὶ ἐπὶ τῶν αὐξανομένων αὐξήσεως καὶ φθίσεως ὕλη ἐστὶ τὸ ποσὸν μέρος ὂν τοῦ ἐν ᾧ ἐστιν ἐνεργείᾳ τε καὶ τούτου ἀχώριστον. ἀλλαμὴν οὐδὲ σημεῖα θετέον, οὐδὲ γραμμὰς τὴν τοῦ σώματος ὕλην διὰ τὰς αὐτὰς αἰτίας, οὐδένα γὰρ κατέχουσι τόπον, ἐκεῖνο δὲ μᾶλλον οὐ ταῦτα ἔσχατα ἡ ὕλη ἐστὶν, ἐξ ἧς γίγνεται τὰ γιγνόμενα, ἥτις ἀχώριστός ἐστι τῆς μορφῆς, οὐχ οἷόν τε ὂν ἄνευ πάθους ταύτην εὑρεῖν, οὕτως καὶ τῶν αὐξανομένων ἡ ὕλη ἀχώριστός ἐστι. γίγνεται μὲν οὖν ἁπλῶς ἕτερον ἐξ ἑτέρου, ὥσπερ καὶ ἐν ἄλλοις διώρισται, οὐ μήν γε τούτου μὴ ὑπάρχοντος ἐνεργείᾳ, ἀλλ' ἐντελεχείᾳ ὄντος. ἔτι δὲ ὑπό τινος, ἢ ὁμοειδοῦς οἷον πῦρ ὑπὸ πυρὸς, ἢ ὁμογενοῦς καὶ ἀνομίου κατὰ τὸ εἶδος, οἷον σκληρὸν οὐχ ὑπὸ σκληροῦ, ἀλλ' ὑπὸ ψυχροῦ πυκνοῦντος τὴν ὑποκειμένην ὕλην αὐτῷ. διὸ δὴ καὶ ἐπὶ τῆς αὐξήσεως ἔσται τι ὡς ὕλη ταύτης, καὶ τὸ ποιητικὸν αἴτιον ἀμφότερα ἐντελεχείᾳ ὄντα. ἐπεὶ δὲ ὑποκείμενον ἐστὶ τῇ αὐξήσει ἡ ὕλη τῆς

σωμα-

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

σωματικῆς οὐσίας. ἔστι δὲ αὕτη σώματος ὑλικοῦ καὶ τοιουδὶ ὕλη, καθόλου γὰρ καὶ κοινὸν σῶμα οὐδέν ἐστιν. ἄρα ἡ αὐτὴ ὕλη ἡ τῶν καθ' ἕκαστα σωμάτων ἐστὶ τῆς αὐξήσεως ὑποκείμενον. ὥστε ἡ αὐτὴ ἔσται μεγέθους καὶ πάθους ὕλη. τῷ μὲν λόγῳ χωριστή, τοῦ γὰρ μεγέθους ὕλη ἐστὶν ἡ ποσή, τῆς δὲ ἀλλοιώσεως ἡ ποιά. ὁμοίως δὲ τούτου πάθους καὶ τοῦ μεγέθους ἀχώριστος ἔσται τῷ τόπῳ ἡ ὕλη. εἰ μή τις καὶ τὰ πάθη χωριστὰ φαίη κατὰ τόπον, ὅπερ ἀδύνατον. πάθος γάρ πως ἐστὶ καὶ τὸ ποσόν, ἐκ τῶν διηπορημένων οὖν φανερὸν ὅτι οὐκ ἔστιν ἡ αὔξησις μεταβολὴ ἐκ δυνάμει μεγέθους. καὶ σώματος, ἐντελεχείᾳ δὲ ἀσωμάτου καὶ μηδὲν ἔχοντος μέγεθος. καὶ γὰρ εἰ τὸ ἐξ οὗ γίγνεται ἡ αὔξησις ἀμεγέθες ὅλως ἦν, τοῦτο εἴη αὖ τὸ κοινὸν ὑποκείμενον καὶ ἡ ὕλη, ὥστε χωριστὸν ἔσται παντὸς μεγέθους, ὅπερ ἄτοπον ἐστὶ καὶ ἀδύνατον, ὡς εἴρηται πρότερον, ἀλλ' ἔτι γε οὐκ αὖ διακρίνοιντο τὸν τρόπον αὔξησις καὶ γένεσις, ἡ μὲν γὰρ ἐστὶν ἐκ τοῦ δυνάμει μόνον ὄντος, ἡ δὲ αὔξησις ἐκ τοῦ ἐνεργείᾳ, καὶ γὰρ ἡ αὔξησις τοῦ ἐνυπάρχοντος μεγέθους ἐστὶν ἐπίδοσις, ἡ δὲ φθίσις μείωσις. διὸ ἔχειν τι δεῖ μέγεθος τὸ αὐξανόμενον, ὥστε οὐκ ἐξ ἀμεγέθους ὕλης δεῖ εἶναι τὴν αὔξησιν εἰς ἐντελέχειαν μεγέθους, εἰ γὰρ αὔξησις λέγοιτο ἡ ἐξ ἀσωμάτου εἰς σῶμα μεταβολὴ εἴη αὖ σώματος γένεσις μᾶλλον, ἀλλ' οὐκ αὔξησις ἡ τοιαύτη, ἡ γὰρ ἐκ τοῦ δυνάμει ὄντος μεταβολὴ εἰς ἐντελέχειαν γένεσίς ἐστιν. ἔστι τοίνυν ἐνεργείᾳ ποσὴ καὶ σῶμα ἡ τῆς αὐξήσεως ὕλη, δυνάμει δὲ μόνον πρὸς τὸ μεῖζον ἢ ἔλαττον γενέσθαι, διὰ γὰρ τῆς αὐξήσεως καὶ φθίσεως ἐπίδοσις ἢ μείωσις γίγνεται τῆς ἐνυπαρχούσης ποσότητος, ἀλλ' οὐ γένεσις ὅλου μεγέθους, ἵνα δὲ σαφέστερον φανερωθῇ, ὅτι ἐκ τοῦ ἐνεργείᾳ σώματος ἡ αὔξησις. ληπτέον πάλιν οἷον ἁπτομένους τῆς ζητήσεως ἐξ ἀρχῆς, ἐξ ὅτου δῆλον μάλιστα γενήσεται, ὅτι καὶ αἰσθητόν ἐστι τὸ τῆς αὐξήσεως ὑποκείμενον, δεῖ γὰρ τὸ αὐξάνεσθαι ποιόν τι ἔστιν εἰδέναι, καὶ κατὰ τίνα τρόπον γίγνεται, ὁμοίως δὲ καὶ τὸ φθίνον, ἵνα ζητήσωμεν τὰ αἴτια τοῦ αὐξάνεσθαι καὶ φθίνειν. φαίνεται δὴ οὖν τρία ταῦτα ἀχώριστα πάσης αὐξήσεως καὶ φθίσεως. πρῶτον ὅτι τοῦ αὐξανομένου, ὁτιοῦν μέρος ηὐξῆσθαι δεῖ, ὁμοίως δὲ καὶ τοῦ φθίνοντος ἔλαττον γεγονέναι. δεύτερον ὅτι τὸ αὐξανόμενον προσιόντος τινὸς αὐξάνεται, καὶ ἀπιόντος φθίνει. καὶ τρίτον ὅτι τὸ αὐξανόμενον. καὶ φθίνον τὸ αὐτὸ σώζεται, καὶ ὑπομένει, ὅπερ ἦν ἐξ ἀρχῆς. τούτων οὕτω κειμένων ἀπορεῖν ἀνάγκη περὶ τῆς ὕλης τῶν αὐξανομένων, ἢ γὰρ ἀσωμάτῳ ἢ σώματι ἀναγκαῖον ἐστὶν αὐξάνεσθαι, καὶ εἰ μὲν ἀσωμάτῳ ἔσται χωριστὸν κενόν, καὶ γὰρ τὸ αὐξόμενον τόπον ἐπιλαμβάνει μείζω μὴ κατεχόμενον ὑπ' αὐτοῦ τοῦ προσιόντος ἀσωμάτου ὄντος καὶ ἀμεγέθους, ὥστε τὸν καταληφθέντα τόπον σώματος ὄντα κεχωρισ-



Ε.Υ.Δ της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

μένον κενὸν εἶναι, ἔτι δὲ εἰ ἀσωμάτῳ αὔξεται τὸ αὐξανόμενον, ἐπειδὴ προσιόντος τινὸς αὐξάνεται ἔσται τοῦτο ὕλη τις μεγέθους χωριστή, τοῦτο δὲ ἀδύνατον ὥσπερ εἴρηται πρότερον, εἰ δὲ σώματι τὸ αὐξάνεσθαι γίνεται προσιόντι ἕψεται δύω σώματα, τό, τε αὐξανόμενον καὶ τὸ αὖξον ἐν τῷ αὐτῷ τόπῳ εἶναι, καὶ σῶμα διϊέναι διὰ σώματος. ἔστι δὲ καὶ τοῦτο ἀδύνατον, ὁμοίως γὰρ δοκεῖ κενὸν εἰσάγεσθαι τῇ τε τῶν σωμάτων διελεύσει, εἰ σώματι αὔξεται τὸ αὐξανόμενον, καὶ τῇ τοῦ ἀσωμάτου προσθήκῃ, καὶ γὰρ ἀνάγκη τὸ μὲν διϊὸν σῶμα τόπον κενὸν ὄντα πρότερον ἐν ᾧ κατέχηται εὑρῆσαι. ἀσωμάτου δὲ προσιόντος τὸν πλείω τόπον ὃν ἐπιλαμβάνει τὸ ηὐξημένον εἶναι κενόν, ἀλλὰ μὴν οὐδὲ οὕτως ἐνδέχεται λέγειν γίνεσθαι τὴν αὔξησιν καὶ φθίσιν ὡς ἐνίστασθαι δοκοῦσι τινές, οἷον καθάπερ ὅταν ἐξ ὕδατος ἀὴρ γίγνεται τότε μείζων ὁ ὄγκος γέγονε, καὶ πάλιν ἐλάττων ὅταν ἐξ ἀέρος ὕδωρ, οὕτως εἰ μηδενὸς προσιόντος, ἢ ἀπιόντος αὐξάνεσθαι καὶ φθίνειν τὰ πράγματα, ἀλλ᾽ ἐπιλαμβάνοντα ὅτε μὲν μείζω, ὅτε δὲ ἐλάττω ὄγκον τὰ αὐτὰ σώζεσθαι, ἢ αὐξάνεσθαι καὶ φθίνειν, οὔτε διϊόντος σώματος διὰ σώματος, οὔτε κενοῦ διδομένου, οὔτε γὰρ ἐν τῇ ἐξ ἀέρος εἰς ὕδωρ μεταβολῇ διήκει τὰ σώματα, οὔτε ἐν τῇ ἐξ ὕδατος εἰς ἀέρα κενὸν δίδοται, ἀλλά γε οὐχ οὕτως ἡ αὔξησις ἐνδέχεται γίνεσθαι, καὶ ἡ ἐξ ὕδατος εἰς ἀέρα μεταβολὴ οὐκ αὔξησις, ἀλλὰ γένεσίς ἐστι τοῦ εἰς ὃ μετέβαλε, φθορὰ δὲ τοῦ ἐναντίου, οὐδετέρου δὲ αὔξησις, ὥστε ἢ μηδὲν ἐστι τὸ αὐξανόμενον ἐπὶ τῆς ἐξ ὕδατος εἰς ἀέρα μεταβολῆς, ἢ χρή τι λέγειν αὐξάνεσθαι κοινὸν ἀμφοῖν ὑπάρχον τῷ γινομένῳ, καὶ τῷ φθαρέντι, οἷον εἰ σῶμα. ὅτι δὲ μηδὲν ηὔξηται οὔτε τὸ ὕδωρ, οὔτε ὁ ἀήρ, φανερόν, τὸ μὲν γὰρ ἀπόλωλε, τὸ δὲ γέγονεν, ἀλλ᾽ οὐδὲ σῶμά τι κοινὸν ηὐξῆσθαι δυνατόν, δεῖ γὰρ σώζεσθαι τὰ κατ᾽ οὐσίαν ὑπάρχοντα τῷ αὐξανομένῳ καὶ φθίνοντι, ἅτινα τρία εἰσί. πρῶτον τὸ ὁτιοῦν μέρος μεῖζον γίνεσθαι τοῦ αὐξανομένου μεγέθους, οἷον ἡ σάρξ, ηὐξημένης γέγονε μείζων τῆς σαρκός. δεύτερον προσιόντος τινός. τρίτον σωζομένου τοῦ τε αὐξανομένου καὶ ὑπομένοντος τοῦ αὐτοῦ κατὰ τὴν αἴσθησιν, διαφέρει γὰρ γένεσις ἀλλοιώσεως καὶ αὐξήσεως, καὶ πᾶσα κατ᾽ οὐσίαν μεταβολὴ τῆς κατὰ συμβεβηκός, ὅτι τὸ γιγνόμενον ἁπλῶς ἢ φθειρόμενον οὐχ ὑπομένει τὸ αὐτό, ἐν δὲ τῷ ἀλλοιοῦσθαι ἢ αὐξάνεσθαι ἢ φθίνειν ὑπομένει τὸ αὐτὸ ἢ αὐξόμενον, ἢ ἀλλοιούμενον, ὅθεν ἡ μὲν γένεσις ὑποκείμενον ἔχει τὸ δυνάμει ὄν, ἡ δὲ ἀλλοίωσις καὶ αὔξησις τὸ ἐνεργείᾳ, ὀφείλει δὲ τὸ ὑποκείμενον ἀεὶ ὑπομένειν. ὅθεν ἐν μὲν τῇ γενέσει ὑπομένει ἡ αὐτὴ ὕλη, ἐν δὲ τῷ ἀλλοιοῦσθαι καὶ αὐξάνεσθαι τὸ αὐτὸ ἐνεργείᾳ ὄν, διαφέρει δὲ ταῦτα ἀλλήλων, ὅτι ἡ μὲν ἀλλοίωσις μεταβολὴ κατὰ ποιόν. ὅθεν οὐ μένει τὸ αὐτὸ πάθος, ἡ δὲ αὔξησις κατὰ τὸ ποσόν, ὅθεν



Ε.Υ.Δ. ΕΠ.Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

οὐ μένει τὸ αὐτὸ μέγεθος, εἰ δὲ ἡ ἐξ ὕδατος εἰς ἀέρα μεταβολὴ αὔξησις ἦν τῶν ἐν τῷ λόγῳ τῆς αὐξήσεως σώζεσθαι προσηκόντων κατὰ τὴν κοινὴν ἔννοιαν λείπεται πρῶτον ὅτι μηδενός γε προσελθόντος ηὔξηται, καθάπερ καὶ ἐν τῇ ἐξ ἀέρος εἰς ὕδωρ μεταβολῇ μεμείωται μηδενὸς ἀπιόντος, ἀλλ' οὐδὲ ὑπομένει τὸ αὐτὸ, τὸ μὲν γὰρ ἀπόλωλε, τὸ δὲ γέγονεν, ἀλλ' οὐδὲ εἴτι κοινὸν ἀμφοῖν ὑπάρχον σώζεσθαι φαίη τις ὀρθῶς ἐρεῖ, οὐδὲν γὰρ κοινὸν σῶμα αὐξήσεως ἐστὶν ὑποκείμενον, ἀλλὰ τὸ τοιονδὶ, οὐκ ἔστι τοίνυν αὔξησις ἡ τοιαύτη μεταβολὴ, ὡς μὴ ὑπομένοντος τοῦ αὐτοῦ κατὰ τὴν αἴσθησιν, τοῦτο δὲ σώζειν ἀνάγκη, ὑποτίθεται γὰρ ἡ αὔξησις τοιοῦτον, ὥστε γίγνεσθαι τῷ ὁτιοῦν μέρος ἐπιδεδόσθαι, καὶ προσιόντος τινὸς καὶ σωζομένου τοῦ αὐτοῦ, ἐπεὶ δὲ ἀεὶ προσιόντος τινὸς γίγνεται τὸ αὐξάνεσθαι, ἀπορήσειεν αὖτις τί ἐστι τὸ αὐξανόμενον, τὸ προστιθέμενον ἆρα οἷον ἡ τροφὴ, ἢ ᾧ προστίθεται, οἷον ἡ κνήμη, ἢ διατί οὐκ ἄμφω λέγεται ηὐξῆσθαι, μεῖζον γὰρ καὶ ὃ, καὶ ᾧ, ὥσπερ ὅταν μίξῃς οἶνον ὕδατι ὁμοίως πλεῖον ἑκάτερον γίνεται, ἢ ὅτι τοῦ μὲν ᾧ προστίθεται μένει ἡ οὐσία, τοῦ δὲ προστιθεμένου οὐδαμῶς, οἷον τῆς τροφῆς, ὥσπερ καὶ ὅταν ὀλίγον ὕδωρ πλείονι μίξῃς οἴνῳ τὸ ἐπικρατοῦν λέγεται, οὐ γὰρ ὕδωρ φαίης ἀλλ' οἶνον, σώζει γὰρ οἴνου δύναμιν, καὶ ποιεῖ τὸ τοῦ οἴνου ἔργον, ἀλλ' οὐ τὸ τοῦ ὕδατος τὸ σύνολον μίγμα, τὸ γὰρ ὕδωρ εἰς τὸν πλείονα μετέβαλεν οἶνον, καὶ οὐ σώζει τὴν οἰκείαν ἰδιότητα. ἐξ ὧν ὁμοίως φανερόν ἐστιν, ὅτι ὑπομένειν ἀνάγκη τὸ αὐξανόμενον, ἀλλ' οὐκ ἀπολωλέναι, οὐδὲ ἁπλῶς γίνεσθαι, ὁμοίως δὲ καὶ ἐπ' ἀλλοιώσεως ἡ σὰρξ μένουσα, καὶ μεταβαλοῦσα κατὰ τὸ πάθος, ὃ πρότερον οὐχ ὑπῆρχεν οὐ τὸ πάθος ἠλλοιῶσθαι λέγεται, ἀλλ' αὐτή. τοιαύτης οὖν οὔσης ὁμοιώσεως μεταξὺ ἀλλοιώσεως καὶ αὐξήσεως διαφέρουσι πάλιν, ὅτι ᾧ ἠλλοίωται τὸ ἀλλοιούμενον ὅτε μὲν οὐδὲν πέπονθεν ὡς τὸ θερμαῖνον ἡμᾶς πῦρ οὐκ ἐξ ἡμῶν ἀντιπάσχον, ὅτε δὲ κἀκεῖνον πέπονθε τῶν ἀλλοιούντων ἀντιπασχόντων ἐκ τῶν εἰς ἃ δρᾷ, τὸ δὲ ἀλλοιοῦν καὶ ἡ ἀρχὴ τῆς κινήσεως ἐν τῷ αὐξανομένῳ καὶ τῷ ἀλλοιουμένῳ ἐστὶν, ἐν τούτοις γὰρ τὸ κινοῦν καὶ ἀμφότερα ἐξ ἀνάγκης μεταβάλλει, οὐ μὴν γε ἐπειδὴ καὶ τὸ εἰσελθὸν γίγνεταί ποτε μεῖζον, οἷον ὅταν εἰσελθὼν γένοιτο χυμὸς, ἢ πνεῦμα, ἥτις οὐσία λεπτομερεστέρα. ὁμοίως δὲ καὶ τὸ ἀπολαῦσαν αὐτοῦ σῶμα λέγεται καὶ τὸ εἰσελθὸν ηὐξῆσθαι, τοῦτο γὰρ οὐχ ὑπομένει, ἀλλ' ἔφθαρταί γε παθὸν τὴν αὔξησιν, οὐ γὰρ ὁποιαδηποτοῦν ἐπίδοσις κατὰ μέγεθος, αὔξησίς ἐστιν, ἀλλ' ἐν ᾗ τὸ αὐξανόμενον σώζεται τὸ αὐτό. ἔτι δὲ ἐν ᾧ ἐστιν ἡ αὐξητικὴ δύναμις τοῦτο σαφῶς αὔξεται, ἔστι δὲ αὕτη ἐν ᾧ καὶ ἡ θρεπτικὴ, αὕτη δὲ κινητικὴ οὖσα καὶ μεταβλητικὴ οὐκ ἐν τῇ τροφῇ ἐστὶν, ἀλλ' ἐν τῷ αὐξανομένῳ σώ-



Ε.Υ.Δ της Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ματι. ἐπεὶ δὲ δὴ ἱκανῶς περὶ αὐτῶν διηπόρηται, ἑκατέρωθεν δεῖ καὶ τῆς ἀπορίας πειρᾶσθαι λύσιν εὑρεῖν, ταῦτα τὰ τρία σώζοντας, τό, ὑπομένοντός τε τοῦ αὐξανομένου, καὶ προσιόντος τινὸς αὔξεσθαι. ἀπιόντος δὲ φθίνειν. ἔτι δὲ ὁτιοῦν μέρος αἰσθητὸν, ἢ μεῖζον, ἢ ἔλαττον γεγονέναι, ἔτι δὲ διαφυγεῖν ἀνάγκη ἕτερα τρία, τό, τε κενὸν εἶναι, καὶ δύω ἐν τῷ αὐτῷ τόπῳ μεγέθη, καὶ ἀσωμάτῳ αὔξεσθαι, τούτων γὰρ φανερῶς ὄντων ἀδυνάτων, καὶ ἀντιμαχομένων τῇ αὐξήσει, ἐκείνων δὲ ἀναγκαίων εἰς σύστασιν τῆς τοιαύτης μεταβολῆς, ὅστις ταῦτα μὲν ἐγκρίνει καὶ σώζει, τὰ δὲ ἄτοπα ἀποκρούσει; τὸν οἰκεῖον καὶ ἀληθῆ τρόπον ἀποδώσει τῆς αὐξήσεως. ληπτέον τοίνυν ἐστὶ τὸ αἴτιον διορισαμένοις πρῶτον αὖ μὲν ὅτι τὰ ἀνομοιομερῆ καὶ ὀργανικὰ μέρη ἐκ τῶν ὁμοιομερῶν συγκείμενα, αὐξάνεται τῷ τὰ ὁμοιομερῆ αὐξάνεσθαι. ἔστι μὲν οὖν μέρη ἀνομοιομερῆ, ἃ οὔτε τῷ ὅλῳ, οὔτε ἀλλήλοις, οὔτε τὸ αὐτὸ ὄνομα, οὔτε τὸν αὐτὸν λόγον ἔχει τῆς οὐσίας, ὁμοιομερῆ δὲ ἃ τῷ τε ὅλῳ καὶ ἀλλήλοις τὸ αὐτὸ ἔχει ὄνομα, καὶ τὸν αὐτὸν λόγον, καὶ γὰρ ἐνταῦθα περὶ τῶν πρώτως αὐξανομένων ὁ λόγος, τὸ γὰρ αὖξον καὶ ἡ τροφὴ γίγνεται τὸ αὐξανόμενον, ἀλλ' ἢ νεῦρον, ἢ σάρξ, ἀλλ' οὐ πρόσωπον ἢ χείρ. δεύτερον ὅτι σὰρξ καὶ ὀστοῦν, καὶ ἕκαστον τῶν τοιούτων ὁμοιομερῶν μορίων, ὥσπερ καὶ τῶν ἐνύλων ἁπάντων διττόν ἐστι, καὶ ἢ ὡς ὕλη λαμβάνεται, ἢ ὡς εἶδος, καὶ γὰρ σὰρξ καὶ ὀστοῦν, καὶ τὸ ὑποκείμενον ἐστὶ καὶ τὸ εἶδος. ἐνταῦθα τοίνυν σὰρξ καὶ ὀστοῦν καὶ τὰ τοιαῦτα μόρια κατ' εἶδος λαμβάνεται, ἀλλ' οὐ κατὰ τὴν ὕλην. οὐ γὰρ δυνατὸν ἡ ὕλη λαμβανόμενα σώζειν τὸ ὁτιοῦν μέρος αὐξάνεσθαι καὶ προσιόντος τινὸς, καὶ ὑπομένοντος τοῦ αὐτοῦ αὐξανομένου, καὶ γὰρ ἀεὶ ἡ ὕλη τῆς σαρκὸς ἡ μὲν ὑπεκρεῖ, ἡ δὲ προσέρχεται, καὶ οὐχ ἡ αὐτὴ μένει. Ἔτι δὲ πῶς ὁτιοῦν μέρος αὐξάνεσθαι κατὰ τὴν ὕλην ἐνδέχεται τῆς ὕλης ἐκρεούσης, καὶ μὴ μενούσης ὥστε αὐξάνεσθαι καθ' ὁτιοῦν σημεῖον. δεῖ γὰρ νοῆσαι ὥσπερ εἴτις μετροίη τῷ αὐτῷ μέτρῳ ὕδωρ, ὥστε ἄλλο καὶ ἄλλο γίγνεσθαι ἐν τῷ μέτρῳ ὕδωρ, μένει δὲ τὸ αὐτὸ μέτρον. οὕτως ἀναλόγως μὲν τῷ μέτρῳ μένει τὸ αὐτὸ εἶδος ἐπὶ τῶν αὐξανομένων, ὁμοίως δὲ τῷ μετρουμένῳ οὐχ ὑπομένει ἡ ὕλη ἡ αὐτὴ, ἡ γὰρ ὕλη τῆς σαρκὸς οὐχ ὁτῳοῦν παντὶ προσγίγνεται, ἀλλὰ τοῦ μὲν ὑπεκρέοντος τοῦ δὲ προσερχομένου, φανερὸν ὅτι οὐχ ἡ αὐτὴ μένει, τὸ δὲ εἶδος καὶ τὸ σχῆμα καθ' ὁτιοῦν μόριον αὔξεται τὸ αὐτὸ μένον ὥσπερ τὸ μέτρον, μᾶλλον δὲ τοῦτο δῆλον ἐπὶ τῶν ἀνομοιομερῶν οἷον χειρὸς, ὅτι ἀνάλογον ηὔξηται ὁτιοῦν μόριον, φανερώτερον γὰρ ἐπὶ τούτων, ἢ ἐπὶ σαρκὸς καὶ τῶν ὁμοιομερῶν, ὅτι τὸ εἶδος ἀεὶ μένει, καὶ γὰρ καὶ ἐπὶ τῶν τεθνεώτων καί τοι οὐδὲ σαρκὸς μενούσης, οὐδὲ βραχίονος διὰ τὴν τῆς ψυχῆς ἀποβολὴν, μᾶλ-

λον

ΙΩΑΝΝΙΝΑ 2006

λον ὅμως ἂν δόξειε σάρκα μένειν, καὶ ὀστοῦν, ἢ χεῖρα ἢ βραχίονα, φανερώτερον γὰρ τὸ εἶδος τῆς ὕλης, διὸ τὰ ὁμοιομερῆ ὕλη τῶν ὀργανικῶν οὖσα ἀσαφέστερά γε ὄντα λανθάνει ὅτι μένει τὰ αὐτά, ἐπὶ τῶν ἀνομοιομερῶν τοίνυν ἑτέρας οὔσης τῆς ὕλης φανερὸν ὅτι κατὰ τὸ εἶδος ἡ αὔξησις, καὶ ὅτι τὸ αὐτὸ μένον ἐξ ἰσοτιμίας καθ' ὁτιοῦν αὔξεται μόριον, καὶ ὅτι τῆς ὕλης τὸ μὲν προσγίνεται, τὸ δὲ ἀπορρεῖ, γενομένης οὖν τῆς αὐξήσεως κατὰ τὸ εἶδος, ὅτε μὲν ἐν μείζονι μεγέθει, ὅτε δὲ ἐν ἐλάττονι μεγέθει ὂν μεῖζον γίνεται τὸ ὅλον, προσελθόντος μέν τινος ὃ καλεῖται τροφή, καὶ ἔστιν ἐναντίον μὲν ἐξ ἀρχῆς, μεταβάλλει δὲ εἰς τὸ αὐτὸ εἶδος, καὶ γίγνεται ὅμοιον, οἷον εἰ ξηρῷ προσήει ὑγρόν, ἔστι μὲν ἐναντίον, προσελθὸν δὲ εἰ μεταβάλλοι καὶ γένοιτο ξηρὸν ἔστιν ὅμοιον, ὅθεν ἔστιν μὲν ὡς τὸ ὅμοιον ὁμοίῳ αὐξάνεται], ἔστι δὲ ὡς ἀνομοίῳ, ἀνομοίῳ μέντοι τὴν ἀρχήν, μεταβάλλοντι δὲ ὁμοίῳ, καὶ πάλιν δυνάμει μὲν ὁμοίῳ, ἐνεργείᾳ δὲ ἀνομοίῳ, ἡ γὰρ τροφὴ δυνάμει οὖσα ὁμοία τῷ αὐξανομένῳ. ἔπειτα προσιοῦσα καὶ παθοῦσα ἐνεργείᾳ γίνεται, ὅπερ ἦν δυνάμει, καὶ γὰρ εἰκότως ἀπορήσειεν αὖτις ποῖόν τι δεῖ εἶναι τὸ ᾧ αὐξάνεται, οὐ γὰρ ἐνδέχεται τὸ τυχὸν εἶναι, οὐδὲ γὰρ πάσχει τὸ τυχὸν ὑπὸ τοῦ τυχόντος, τὸ δὲ ᾧ αὐξάνεται, ἐπεὶ οὐ προστεθέντι μόνον ἡ αὔξησις γίγνεται, ἀλλὰ μεταβαλόντι, ἀνάγκη ἐναντίον εἶναι, πάσχει γὰρ ἀεὶ τὸ ἐναντίον ὑπὸ τοῦ ἐναντίου, φανερὸν οὖν ὅτι τὸ αὖξον δυνάμει ἐστὶ τὸ αὐξανόμενον, οἷον εἰ σάρξ, δυνάμει εἶναι σάρκα, ἐντελεχείᾳ δὲ ἕτερον, ὃ τῇ ἐν τῷ αὐξανομένῳ κινητικῇ δυνάμει ἀλλοιωθέν, καὶ φθαρὲν σὰρξ γίνεται. οὐκοῦν αὐτὴ ἡ τροφὴ καθὸ μεταβάλλει εἰς τὸ ὅμοιον αὔξησιν ἀποτελεῖ, εἴη γὰρ ἂν οὕτω γένεσις ἡ αὔξησις, ἀλλὰ καθὸ ταύτῃ τὸ αὐξανόμενον αὔξεται, ὥστε προηγεῖται μὲν τῆς αὐξήσεως γένεσις, διακρίνεται δὲ ὅτι ἡ μὲν γένεσις, ἐκ τοῦ ἀνομοίου εἰς τὸ ὅμοιον μεταβολή, ἡ δὲ αὔξησις προσιόντος τοῦ ὁμοίου εἰς τὸ μεῖζον ἐπίδοσις, τί οὖν παθὸν τὸ αὐξανόμενον ὑπὸ τοῦ αὔξοντος ηὐξήθη; ἢ ὅτι ὑπὸ τῆς ἐν τῷ αὐξανομένῳ μεταβλητικῆς δυνάμεως μεταποιούμενον τὸ αὖξον εἰς τὴν ἐκείνου οὐσίαν μίγνυται, καὶ μιχθὲν ποιεῖ τὴν αὔξησιν, ὥσπερ εἴτις ὕδωρ ἐπιχέει οἴνῳ, ᾧ δὲ οἶνον ποιεῖ τὸ μιχθέν, καὶ αὔξει τὸν οἶνον τῷ μιχθέντι ὕδατι, καὶ ὥσπερ τὸ πῦρ ἁψάμενον τοῦ καυστοῦ μεταβάλλει τοῦτο, καὶ εἰς μείζονα ὄγκον ἐπιδίδωσι τῇ τούτου προσθήκῃ, οὕτως ἐν τῷ αὐξανομένῳ καὶ ὄντι ἐντελεχείᾳ σαρκὶ ἡ ἐνυπάρχουσα θρεπτικὴ καὶ αὐξητικὴ δύναμις τῆς ψυχῆς προσελθοῦσαν τὴν δυνάμει σάρκα ἐντελεχείᾳ ποιεῖ σάρκα, οὐκοῦν ὡς ἅμα ὄντι καὶ οἷον μιγνυμένῳ, εἰ γὰρ χωρὶς, γένεσις ἦν. ἔστι μὲν γὰρ οὕτω πῦρ ποιῆσαι ἐπὶ τὸ ὑπάρχον ἐπιθέντα ξύλα, ἀλλ' αὔξησις μὲν ἔστιν ὅταν τῷ προστεθέντι ὁμοίῳ γεγονό-

τι μεῖζον γένηται τὸ ὅλον, γένεσις δὲ ὅταν αὐτὰ τὰ ξύλα ἀφθῇ, ἐπειδὴ δὲ λέγεται ὅτι τὸ προσιὸν δυνάμει ἐστὶ τὸ ᾧ προσετέθη, ἀλλ' οὐκ ἐνεργείᾳ, μήτις ἐντεῦθεν εἴπῃ ὅτι ἐκ τοῦ μὴ ποσοῦ ἄρα γίγνηται ποσὸν, ὥστε γίγνεσθαι μέγεθος ἐξ ἀμεγέθους, ὥσπερ γὰρ οὐδ' ἐν τῇ οὐσίᾳ γίγνεται τὸ καθόλου, ἀλλὰ τὰ καθ' ἕκαστα μόνον, οὐδὲ γὰρ ζῶον ἐνδέχεται γίγνεσθαι, ὃ μήτε ἄνθρωπος μήτε τῶν καθ' ἕκαστα, οὕτως οὐδὲ ἐν τῷ ποσῷ γίγνεται τὸ καθόλου ὃ μήτε σὰρξ μήτε ὀστοῦν, καὶ καθάπερ οὐκ ἐκ μὴ οὐσίας οὐσία, ἀλλ' ἐκ μὴ τοιᾶσδε οὐσίας τοιάδε, οὕτως οὐδὲ ἐκ μὴ ποσοῦ ποσὸν, ἀλλὰ σὰρξ ποσὴ ἐκ μὴ ποσῆς σαρκὸς, ὥστε γίγνεται μὲν σὰρξ καὶ ὀστοῦν, ἡ χεὶρ, ἡ νεῦρα, καὶ τούτων τὰ ὁμοιομερῆ, προσελθόντος μὲν δήτινος ποσοῦ, ἀλλ' οὐ σαρκὸς ποσῆς. ἐντεῦθεν οὖν φανερόν ἐστι τίνα διαφορὰν ἔχει αὔξησις, καὶ τροφὴ, ἡ γὰρ δυνάμει τὸ συναμφότερον, οἷον ποσὴ σὰρξ ταύτῃ μὲν αὔξει, δεῖ γὰρ τὸ αὐξανόμενον σάρκα τε γίνεσθαι, καὶ μείζω κατὰ ποσὸν, ἡ δὲ μόνον σὰρξ τρέφει, διαφέρει μὲν οὖν τὸν τρόπον τοῦτον τροφὴ καὶ αὔξησις τῷ λόγῳ, ἐπεὶ τὸ αὐτὸ γὰρ ὑποκείμενον λόγῳ διαφόρῳ εἰσὶν, ἡ γὰρ αὔξησις ἐκ σαρκὸς ποσῆς, ἡ δὲ τροφὴ ἐκ τῆς δυνάμει σαρκὸς, ἡ σὰρξ δυνάμει, ἀλλ' οὐ ποσὴ, διὸ τρέφεται μὲν ἕως ἂν σώζηται καὶ φθίνον, αὔξεται δὲ οὐκ ἀεὶ, οὐ γὰρ γίγνεται προσθήκη ποσοῦ, ὅθεν καὶ ἡ τροφὴ τῇ αὐξήσει τὸ αὐτὸ μέν. τὸ δὲ εἶναι ἄλλο, ἡ μὲν γάρ ἐστι τὸ προσιὸν δυνάμει ποσὴ σὰρξ, ταύτῃ μὲν αὐξητικὴ σαρκὸς, ἡ δὲ μόνον δυνάμει σὰρξ τροφὴ, τοῦτο δὲ τὸ εἶδος καὶ ἡ οὐσία, οἷον τὸ σάρκα εἶναι ἄνευ ὕλης καὶ τοῦ ποσοῦ, (ὕλη γὰρ τὸ ποσὸν, ὅθεν τούτου τὸ μὲν ὑπεκρεῖ, τὸ δὲ προσγίνεται,) οἷον τις ἄυλος δύναμίς ἐστιν, οὐ μὴν ἁπλῶς, ἀλλ' ἢ δύναται ἄυλα λέγεσθαι τὰ ἐν ὕλῃ ὄντα, ἐν ὕλῃ γὰρ, δηλονότι καθ' ἑαυτὰ, καὶ ἢ δύναται χωρὶς τῆς ὕλης καὶ τῆς ποσότητος νοεῖσθαι, καθ' ὃν δὴ τρόπον τὸ εἶδος οὐκ ἐνεργεῖ κατὰ τὸ ποσὸν, τρέφει μὲν γὰρ ἀλλ' οὐκ αὔξει, ἐὰν δέ τις προσίῃ ὕλη οἷον τροφή τις ἄυλον ὂν εἶδος ἡ σὰρξ δυνάμει μόνον, ἔχουσα δὲ καὶ τὸ ποσὸν δυνάμει, καὶ δυναμένη προσθεῖναι τῷ τρεφομένῳ μέγεθος, τότε τὸ τρεφόμενον ἅμα αὐξάνεται, καὶ εἰς μεῖζον ἐπιδίδωσι μέγεθος, καὶ τῶν τρεφομένων τὰ εἴδη οἷον ἄυλοι δυνάμεις ὄντα μείζους ἔσονται προστεθειμένου ποσοῦ, ὅθεν φανερὸν ἐκ τούτων πρῶτον ὅτι διαφέρει τροφὴ καὶ αὔξησις, τὸ δυνάμει σὰρξ, τὸ μὲν γὰρ εἶδος ἐστὶ, καὶ οἷον ἄυλος δύναμίς τις θεωρεῖται, τὸ δὲ ποσὸν, ὡς ὕλη. Δεύτερον ὅτι τὸ τρεφόμενον αὐξάνεται ὅταν γίγνηται μεῖζον προσιούσης ὕλης ἐχούσης καὶ τὸ ποσὸν δυνάμει. Τρίτον ἡ τροφὴ ὡς ἐν ὕλῃ ἐστὶ τῷ ποσῷ ἀχώριστος ταύτης οὖσα, καὶ τρέφει μὲν ἐν ὕλῃ ὑπάρχουσα, οὐ μὴν αὔξει πάντοτε, οὐ γὰρ τῷ ἐν ὕλῃ εἶναι τὴν τροφὴν τὸ αὐξάνεσθαι, ἀλλὰ τῷ



ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΤΗΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

δύνασθαι τὴν προσιοῦσαν ὕλην μέγεθος προσθῆναι. Τέταρτον ὅτι ἡ τροφὴ καὶ τὸ τρεφόμενον, οὐσία εἰσί, καὶ εἶδος, ὥστε τρέφεσθαι τὸ τρεφόμενον ἐξ οὐσίας, οὕτω καὶ τὸ αὖξον, καὶ τὸ αὐξανόμενον ποσόν ἐστι καὶ ὕλη, καὶ γίγνεται ἀεὶ τὸ ποσὸν ἐκ ποσοῦ καὶ ὕλης, καὶ σώματος οὐκ ἐξ ἀσωμάτου καὶ ἀμεγέθους, ὥσπερ δὲ τὸ τρεφόμενον οἷον σάρξ, ἐξ οὐσίας τρέφεται δυνάμει σαρκὸς, ἀλλὰ μὴ ἐνεργείᾳ, οὕτω καὶ τὸ αὐξανόμενον ἐκ ποσοῦ αὔξεται δυνάμει ποσῆς σαρκὸς, μείωσις δὲ καὶ φθίσις γίγνεται, ἐὰν μηκέτι μεῖζον ποιεῖν δύνηται τὸ προσιὸν οὐ μεταβάλλον εἰς τὴν τοῦ αὐξομένου οὐσίαν, τότε γοῦν φθίσις γίγνεται ὁπηνίκα τῆς ἀλλοιωτικῆς καὶ ἐξομοιωτικῆς δυνάμεως ἀσθενεστέρας γιγνομένης τὸ προστεθὲν οὐ γίγνεται ὅμοιον, καὶ ὥσπερ ὕδωρ οἴνῳ ἀεὶ πλεῖον γιγνόμενον τέλος ὑδαρῆ ποιεῖ καὶ ὕδωρ, μηκέτι μεταβαλλόμενον εἰς τὴν τοῦ οἴνου οὐσίαν, τῆς ἐν αὐτῷ δυνάμεως ἀσθενούσης τῇ ἐπικρατείᾳ τοῦ ὕδατος, καὶ μὴ ἀλλοιοῦν, οὐδὲ ἐξομοιοῦν δυναμένης, οὕτως ἐλαττουμένης τῆς θρεπτικῆς δυνάμεως καὶ τῆς ἀπορρεούσης ὕλης ἧττον προσκειμένης διὰ τὴν ἀσθένειαν τοῦ ἐμφύτου θερμοῦ, εἴτε ὑπὸ νόσου, εἴτε ὑπὸ γήρως φθίσις γίγνεται, καίτοι τὸ εἶδος ἔτι μένει, σώζεται γὰρ αὐτὸ τῇ προσκείσει τοῦ ἥττονος ἅτε δὴ μένειν οἷόν τε ὂν ἐν ἐλάττονι μεγέθει, φθίνει ὅμως, ἀλλ᾽ οὐκ αὔξεται, ἡ γὰρ αὔξησις γίνεται πλείονος ὄντος τοῦ προστιθεμένου, ἢ τοῦ ὑπεκρέοντος, ἡ δὲ φθίσις μείονος προσιόντος, ἀπιόντος δὲ πλείονος.

## Ἀπορίαι.

Τίνος οὕνεκεν ἐν μὲν τῷ ὀγδόῳ τῆς Φυσικῆς μοιρῶν ν ε. ἀδύνατόν φησιν ἀλλοίωσιν ὑπάρχειν ἄνευ φορᾶς, ἐνταῦθα δὲ οὐκ ἐξ ἀνάγκης φέρεσθαι τὸ ἀλλοιούμενον; ἢ ὅτι οὐκ ἐνδέχεται ἀλλοίωσιν γενέσθαι ἄνευ φορᾶς, ἢ τοῦ ἀλλοιουμένου, ἢ τοῦ ἀλλοιοῦντος. ἐπεὶ τοιγαροῦν τὸ ἀλλοιοῦν οὐκ ἐγγύς ἐστι τοῦ ἀλλοιουμένου, ἀνάγκη θάτερον τούτων κινηθῆναι, καὶ ἐγγύτερον γενέσθαι. ἐνταῦθα δὲ οὐκ ἀναγκαῖον φασιν αὐτὸ τὸ ἀλλοιούμενον, ἀεὶ κινεῖσθαι, ὥσπερ τὸ αὐξανόμενον, τοῦτο γὰρ κατὰ τόπον ἐξ ἀνάγκης μεταβάλλει. ἢ ὅτι προηγεῖται μὲν ἀλλοιώσεως φορὰ, οὐ μὴν φορά ἐστιν ἡ ἀλλοίωσις καθ᾽ ἑαυτὴν θεωρουμένη, ἡ δὲ αὔξησις μεταβολή τις ἐστὶ κατὰ τόπον. Δεύτερον οὐ καλῶς ὁ Φιλόσοφος κεχρῆσθαι δοκεῖ τῷ τοῦ ἀγγείου παραδείγματι. τὸ γὰρ αὐξανόμενον μείζω ποσότητα προσεπιλαμβάνει, αὐτὸ δὲ τὸ ἀγγεῖον οὐδαμῶς, ἀλλὰ σώζει τὸ αὐτοῦ μέγεθος. ἢ ὅτι ὅμοιόν ἐστι τῷ αὐξανομένῳ τὸ ἀγγεῖον, ὅτι ὥσπερ τοῦτο μένει τὸ αὐτὸ ἐν τῇ τοῦ ὕδατος ἀπορροῇ τε καὶ εἰσροῇ, οὕτω καὶ τὸ τοῦ



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006